πάρεξον, καὶ αὐτὸς ὑμῖν τὸ σημεῖον διαλύσει. καὶ ἐὰν μὲν
ἐπιτύχω, σὺ ἕξεις τὴν δόξαν, εἰ δ' ἀποτύχω, ὑπὲρ δόξης
δεσπότου ἐγὼ καθυβρισθήσομαι. πεισθεὶς οὖν ὁ ξάνθος
τῷ αἰσώπῳ ἕωθεν προθύμως ὑπήντησεν εἰς τὸ θέατρον.
καὶ στὰς ἐν τῷ μέσῳ, ἔφη τοὺς λόγους, οὓς ὑπέδειξεν αὐτῷ
ὁ αἴσωπος. οἱ δὲ εὐθέως παρεκάλουν τὸν αἴσωπον ἐλ-
θεῖν. τοῦ δὲ ἐληλυθότος, καὶ στάντος εἰς τὸ μέσον, κατανο-
ήσαντες οἱ σάμιοι τὴν τούτου μορφὴν, ἐμπαίζοντες αὐτὸν,
ἔλεγον, αὕτη ἡ ὄψις σημειολυτοῦ, ἐκ τοῦ σαπροῦ τούτου τί
ἀγαθὸν ἀκουσώμεθα; καὶ ἤρξαντο γελᾶν. ὁ δὲ αἴσωπος
ἐφ' ὑψηλοῦ τόπου στὰς, καὶ τὴν χεῖραν τῷ ὄχλῳ κατασεί-
σας ᾔτησεν ἡσυχίαν γενέσθαι. σιγῆς δὲ γενομένης, ἔφη,
ἄνδρες σάμιοι, τί μου σκώπτετε τὴν θέαν. οὐκ εἰς τὴν
ὄψιν δεῖ ἀποβλέπειν, ἀλλ' εἰς τὴν διάνοιαν. πολλάκις γὰρ

http://digital.slub-dresden.de/ppn346259193/77